28 τῷ κυρίῳ. [28]πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ·
ἔστιν γὰρ ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν ἐξιλάσασθαι περὶ ὑμῶν
29 ἔναντι κυρίου τοῦ θεοῦ ὑμῶν. [29]πᾶσα ψυχή, ἥτις μὴ ταπεινωθή-
σεται ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐ-
30 τῆς. [30]καὶ πᾶσα ψυχή, ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύ-
31 τῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. [31]πᾶν ἔργον οὐ
ποιήσετε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις κατοι-
32 κίαις ὑμῶν. [32]σάββατα σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς
ψυχὰς ὑμῶν· ἀπὸ ἐνάτης τοῦ μηνὸς ἀπὸ ἑσπέρας ἕως ἑσπέρας
σαββατιεῖτε τὰ σάββατα ὑμῶν.
33 34 [33]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [34]Λάλησον τοῖς
υἱοῖς Ισραηλ λέγων Τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου
35 τούτου ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ κυρίῳ. [35]καὶ ἡ ἡμέρα ἡ
36 πρώτη κλητὴ ἁγία, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. [36]ἑπτὰ ἡμέ-
ρας προσάξετε ὁλοκαυτώματα τῷ κυρίῳ· καὶ ἡ ἡμέρα ἡ ὀγδόη
κλητὴ ἁγία ἔσται ὑμῖν, καὶ προσάξετε ὁλοκαυτώματα τῷ κυρίῳ·
ἐξόδιόν ἐστιν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.
37 [37]Αὗται αἱ ἑορταὶ κυρίῳ, ἃς καλέσετε κλητὰς ἁγίας ὥστε προσ-
ενέγκαι καρπώματα τῷ κυρίῳ, ὁλοκαυτώματα καὶ θυσίας αὐτῶν
38 καὶ σπονδὰς αὐτῶν τὸ καθ᾽ ἡμέραν εἰς ἡμέραν [38]πλὴν τῶν σαβ-
βάτων κυρίου καὶ πλὴν τῶν δομάτων ὑμῶν καὶ πλὴν πασῶν τῶν
εὐχῶν ὑμῶν καὶ πλὴν τῶν ἑκουσίων ὑμῶν, ἃ ἂν δῶτε τῷ κυρίῳ.
39 [39]Καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τού-
του, ὅταν συντελέσητε τὰ γενήματα τῆς γῆς, ἑορτάσετε τῷ κυρίῳ
ἑπτὰ ἡμέρας· τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάπαυσις, καὶ τῇ ἡμέρᾳ τῇ
40 ὀγδόῃ ἀνάπαυσις. [40]καὶ λήμψεσθε τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύ-
λου ὡραῖον καὶ κάλλυνθρα φοινίκων καὶ κλάδους ξύλου δασεῖς
καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάρρου εὐφρανθῆναι ἔναντι κυ-
41 ρίου τοῦ θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας [41]τοῦ ἐνιαυτοῦ· νόμιμον αἰώνιον
εἰς τὰς γενεὰς ὑμῶν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν.
42 [42]ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας, πᾶς ὁ αὐτόχθων ἐν Ισραηλ
43 κατοικήσει ἐν σκηναῖς, [43]ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν ὅτι ἐν σκη-
ναῖς κατῴκισα τοὺς υἱοὺς Ισραηλ ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ
γῆς Αἰγύπτου· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.
44 [44]Καὶ ἐλάλησεν Μωυσῆς τὰς ἑορτὰς κυρίου τοῖς υἱοῖς Ισραηλ.
24 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ἔντειλαι τοῖς υἱοῖς
Ισραηλ καὶ λαβέτωσάν μοι ἔλαιον ἐλάινον καθαρὸν κεκομμένον εἰς
3 φῶς καῦσαι λύχνον διὰ παντός. [3]ἔξωθεν τοῦ καταπετάσματος ἐν τῇ

28 εν > A† || 36 ολοκαυτωματα bis] -μα A | κλητη αγ.] tr. B(partim sup. ras.)† | τω ult. > B || 37 κυριω $1^{0}$] pr. τω A || 38 πασων] παντων BA† || 39 εορτασατε B || 40 τη $1^{0} \frown 2^{0}$ B*A† | ξυλου $2^{0}$] -λων A || 43 κατῳκισα F] κατοικ. B, -κησα A